σίδηρον ἀφ' οὗ κὶ ἀκμαὶ γίνονται τῶν μαχαιρῶν. Στωναχὰς, συναγμούς. Στονάεσσα, γεναγμοὺς ἔχουσα. Στόνος, γεναγμός. Στορέσαι, γρῶσαι. Στόρθυγξ, τὸ ἄκρον τῷ δόρατος. Ἢ τὸ τῷ βέλους σιδήριον. Στρεβάξ, ὄνομα κύριον. Στράγγα, Μένανδρος Θησαυρῷ. ἄοινος ἐπὶ μῆνας ὕδατος στράγγα ἔχων. Στραγγαλαὶ, εἶδός τι πρὸς Μενάνδρου. Στραγγάλιδες, τὰ δύσλυτα ἅμματα. Φερεκράτης Αὐτομόλοις. ὑμεῖς γὰρ ἀεὶ στραγγαλίδας ἐσφίγγετε. Στραγγαλιῶδες, διεστραμμένως. Στραγγὶς, σαγωνή. Στραγγύσει, διαβάλλει. ὃκ εὐθὺς πορεύεται ὥσπερ νεάζει κὶ χρονίζει ἡμεῖς. Στραγγὸς, ἀναιδής. σκολιὸς. στρεβλὸς. δύσκολος. Στραγγότερος, ἀναιδέστερος. Στρατήγημα, σόφισμα, ἢ τῷ στρατῷ ἡγεμονία. ἢ κατόρθωσις. Στρατηγὶς, ἡγανή. οὕτως Φερεκράτης. Στρατὰ, ἐν τοῖς ἐπωνύμοις. Λιχίνης ἐν τῷ περὶ τῆς παρασβισβείας. Ἀριστοτέλης τοίνυν διδάσκων ἐν Ἀθηναίων πολιτείαις τὶς ἦν ἐν τοῖς Ἐπωνύμοις στρατιά. Ἠσὶ γάρ φησι Ἐπώνυμοι δέκα μὲν οἱ τῶν φυλῶν. ἐπὶ δὲ ἑφηβοι ἐγγραφόμενοι πρότερον εἰς λευκασμένα γράμματα ἐνεγράφοντο αὐτοῖς ἔτι ἄρχων ἐφ' οὗ ἐπεγράφησαν, κὶ Ἐπώνυμος τῷ πρότερῳ ἐπιδημικῶς. Μοῦνοι εἰς τὴν βελὴν ἐπιγράφονται. κὶ μετ' ὀλίγα. χρῶνται δὲ Ἐπωνύμοις κὶ πρὸς τὰς στρατιάς, κὶ ὅταν ἡλικίαν ἐκπέμπωσιν ὡς γράφουσιν ἀπό τινος ἄρχοντος ἐπωνύμου μέχρι τινὸς δεῖ στρατεύεσθαι. Στρατεία, ἡ εὐεργεσία κὶ ὥσπερ πάλη. Στρατηγίαν, ἐπιθυμεῖν στρατηγίδος. Στρατία, τὸ τῶν στρατιωτῶν ἔπαρχον τάγμα. Στρατηγοὶ, οἱ καθ' ἑκάτον ἐνιαυτὸν χειροτονούμενοι στρατηγοὶ δέκα ἦσαν. Δημοσθένης ἐν Φιλιππικοῖς. Στρατιᾶν (ἀν) συστέλλοντες τὴν δευτέραν συλλαβὴν, ἡ μόνον ἡ δευτέρα συλλαβὴ βραχεῖα. Κὶ Στρατίων, τὸ μεγα κὶ σοβαρόν. Στρατοπεδευσάμενοι, ἁπλικιώσαντες. Στρατόπεδον ἐποιήσαντο, ἀντὶ τῷ σκηνάς. Δύο γὰρ σημαίνεται λέξις. Κὶ τὸ στρατευμα, κὶ τὸ τῷ πολίτου στρατεύματος. Στρατὸς, τὸ πλῆθος τῶν πολεμούντων. Ὁ δὲ τόπος Στρατόπεδον. Λέγεται γὰρ τῷ στρατῷ τὸ πεδον. Στρατοφάνη, τὴν ὁλητικὴν πῶσιν. Μενάνδρου Σικυωνίῳ. στρατοφάνη, λίτον εἶχες λαλι μύδιον κὶ τηλείνα. κὶ ἀεὶ ἅττως λέγει. Στρεβλάμενος, δεσμούμενος. μασιζόμενος. Στρεβλοὶ, τὸν στραβὸν λέγουσι. *Ξίλικας ἐλὴ. στριπλὰ, ψέλια. Στρίπτη πλακουντων εἶδος ὡς Θεμιστοκλῆς ὑπὲρ κιθαριστῶν. Στρέφος, Στρέμμα, τῷ στρογγύλῳ. δέρμα. βύρσα. Στρεψὰ, πόλις τῆς Θρᾴκης κὶ οἱ πολῖται Στρεψαῖοι. Στρεψαίους, Ἀριστοφάνης γεωργῷ. Στρεψίμαλλος, ἄνωρος. ὁ μὴ ἁπλῶς. ἀπὸ τῶν μηρίων τῶν συνεστραμμένος τὰς μαλλὰς ἐχόντων. Στήνον, οἱ μὲν τὸ ὀξὺ κὶ τὸ ἀνεσταλμένον. Νικόστρατος δὲ, τὸ τραχὺ κὶ πρόσαντες ἀκοπῆ ἢ δεγμα. Στίφνος, σφίγματος. σκληρός. Στροβεῖ ταράττει. κινεῖ. περιφοβεῖ. καταπονεῖ. Στρόβηλος, κὶ χὶ κολίαι κὶ οἱ θαλάσσιοι κήρυκες. Κὶ Στρόβιλος, εἶδος ὀρχήσεως. Κὶ ἀνέμου εἶδος. κὶ ὁ τῶ δίνου καρπός. Στροβῆσαι, συσρέψαι. κὶ Στρομβος, ἡ συσροφὴ. κὶ ὁ λίθος. Στρομβος ἐν ᾧ συσρέφεται κὶ ὁ καρπὸς τῆς τίτυος. κὶ εἶδός τι ὀρχήσεως. Στροβῆσαι, συσρέψαι. Στρόμβος, φόμβος. ἀπὸ τῷ περισρέφεσθαι. Στρομβιχίδης, ὄνομα κύριον. Στρεβλης, σατράπης τις βασιλικὸς ἦν. Στρεβλίζων, τρίζων. Στρεψάς, ὁ, λελομβημένος. Στρομφίδες, μῆσοι μεταξὺ Σακώνθου κὶ Ἰλιάδος κειμενοὶ. Στροφαλιγγὴ, τῇ συσροφῇ. Στροφαῖος, ὁ παρὰ ταῖς θύραις ἱδρυμένος Ἑρμῆς παρὰ τὸν τροφέα τῆς θύρας. Στροφὰς, ἀντιλογίας. Στρόφιον, τὸ στρογγύλον ζωνάριον. Ἀριστοφάνης. Το Στροφάιον ἤδη λυόμενον. Στροφιαπανδέγγης, τὸν δεσμόν. Ἡρόδοτος Στρωματήτης, ἐν ᾧ ἐν αὐτοῖς τὰ στρώματα παρεῖχον. οὕτως Κράτης. Στρώτης, τὰ μικρὰ δοκίδια τὰ ἐπάνω τῶν δοκῶν τιθέμενα, στρωτῆρας ἔλεγον. Στρύφον, στυφνόν. σκληρόν. Στρόμη νῆσος ἔποικος Θασίων. Στρώτηρ λέγεται μὲν, ἐν τῇ συνηθείᾳ τὸ πλέγμα τὸ ἀπὸ τῶν πακύρων εἰς σκηνὰς κὶ καλύβας, πεποιημένον. οἱ δὲ ῥήτορες στρωτῆρας καλοῦσι τὸν στρωτῆρα ἀπὸ ῥάβδων εἰς ὀρόφωσιν πεποιημένον. Στυγεῖ, μισεῖ. ἢ φοβεῖται. Στυφακίζειν, κεντρίζειν. Στυγνῷ, μισητῷ. ἢ φοβουμένῳ. Στυγητὸς, μισητός. Στυξ κρήνη ἐν ᾅδου. ὅρκος θεῶν. Στύπιον, ἐσί λίνου εἶδος. Στύραξ, ὁ σαυρωτὴρ καλούμενος, ἢ τῷ δόρατος τραχήλιον ὁ καταπηγνύουσιν εἰς τὴν γῆν εἰώθασι. Κὶ Θεοκρίτου φησὶ συρακίῳ ἀκοντίσαι ἀντὶ βαλάνου χρώμενος εἰς τὸν μοχλόν. Στυφελίξαι, σεῖσαι. διῶξαι. κακῶσαι. Στεισὶ κὶ Στοισὶ λέγουσι. Στωμύλος, λάλος. πολύκομψος. πιθανολόγος. εὐτράπελος. ἔφεδρος τῶν λόγων. ἀπατεὼν. κόλαξ. Συβαριτικὰς, κὶ Συβαρικὰς, τρυφηλὰς. λαμπρὰς. πολυτελεῖς. τρυφηταὶ γὰρ οἱ Συβαρῖται. Συβαριτικοὶ λόγοι, οἱ Αἰσώπειοι. Συβήνη, ἡ δερματίνη ὑλοθήκη ἢ ἡ φαρέτρα. Θεσμοφοριάζουσις Ἀριστοφάνης. ἀλλ' ὃκ ἔχω δ' ὅδεν. ἀλλὰ τὴν Συβήνην λάβε. Συβώτης, χοιροβοσκός. Συβαρίταν..... Συγγραφεῖς ἤρξαντο ἵνα συγγράφωσι τοὺς μεθήξοντας τῆς ἀρχῆς τῷ υ κὶ τῆς τῷ λ'. Ἐκλαῦντο δὲ οἱ αὐτοὶ κὶ καταλογεῖς. Συγγραφικῶς, στρογγύλως, ὡς ὁ συγγραφεὺς περὶ ψυχῆς. Συγχεῖ, ἀφανίζει. συμμιγνύει. Συγχυδεῖς, συνταραχθεῖς. Συγκιεῖν, ὁμοῦσθαι. Συγκύδων, συμμίκλων. ἐπικύδων. καρτερικτῶν. Συγκεφύρασι, συνταράξαι. Συγκεκορδυλισμένα, συγκεκυφότα. συνεσκιακότα. Σύγκρισις, ὁμοίωσις. Συγκομιδὴ, ὡς ἐπὶ καρπῶν. Θεοκρίτου. κὶ ἐν συγκομιδῇ καρπῶν ἦσαν. Κὶ Λυσίας ἐν τῷ κατὰ Ξενοφῶντα. συγκομισάμενος δὲ δῶρα κὶ ἀποδόμενος τὸ ἀργύριον. Συγκριτικῶς, ὁμοίως. Συγκροτεῖ, δοτικὴ, συνάγει. ἀθροίζει. συνίστησι. κὶ συνάδει. πρὸς ἁρμονίαν ἄγει. Συγκρούειν, συναθροίζειν. Συγκυκῶν, συνταράσσων. Συγκύπτει, διαφέροντα. συνεγκλίνοντα. Συνιέναι, κὶ συνιέναι, ἁμαθίας κὶ σκαιότητος. παρὰ Φερεκράτει. Πλάτων ὁ φιλόσοφος ἁμαθῶς, ὃκ ἀναγκαίως δεῖσθαι κὶ σκυθρωπόν τι ποιεῖν. Κὶ Ξυνιέναι πόλις. Ξυνίημι δὲ συνίημι. Συναμίνα, τὰ μόρα. Φιλιππίδης Φιλαθηναίοις. τοῖς συκαμίνοις δὲ ἀντὶ τῆς φυκῆς ὅλον τὸ πρόσωπον. τὰ δὲ μόρα δῶριον μᾶλλον. Κὶ Ἐπίχαρμος μωρῶν νέον τὸ φυτόν. Συκίδα, συκίδαφος. ὀπὶ παντὶ δυσαρεστούμενος κὶ ἀναγώγιος. Συκίνημα..... χαίρα συκοφαντία. Σύκινον, ἀθινές. Σῦκον ἐφ' ἑξῆς τὸ ἐγκείμενον εἰς ὠφέλειαν τῷ βεβλομένῳ. Τὸ γὰρ πρῶτον φανὲν σῦκον Ἑρμῇ ἐτίθησαν. Συκάζειν, συκοφαντεῖν. συκοῦν, κολακεύειν. Νεωστὶ γὰρ σύκων φαινομένων ὡς ἂν ὥρας ἥκοντες ἐλικίβων τὰς συκώρυχας δεῖται. Συκοφαντεῖν, τὸ ψευδῶς τινος κατηγορεῖν. Κεκλῆσθαι Μάφαι παρ' Ἀθηναίοις πρῶτος εὑρηκότος τὰ φυτὰ τῆς συκῆς κὶ διὰ τοῦτο κωλυόντων ἐξάγειν τὰ σύκα. τῶν δὲ φαινοτύντων τοὺς ἐξαγόντας συκοφάντων κληθέντων, συνέβη κὶ τοὺς ὀπωρῶν κατηγοροῦντας τινῶν φιλαπεχθημόνως, ὅτως προσαγορευθῆναι. Σύλαι, αἱ συλλήψεις παρὰ Δημοσθένει. Σύλας Δημοσθένης ἐν τῷ περὶ Στεφάνου. ὅποτ', ἂν μὴ σύλαι. ὥσπερ ἐξηγεῖται αὐτὸ φησι. σεσυλήμεθα δὲ τὰ ἡμίσεα αὐτῶν ὑπὸ φασηλιτῶν δεδεμένων συλῶν φασηλίταις κατὰ Ἀθηναίων. Ἐπειδὰν γὰρ μὴ θέλωσι ἀποδοῦναι ἃ ἐλαβόντι αὐτοῖς ἔχοι ἄλλο ὄνομα δίκαι τῷ τοιούτῳ, ἢ ὅτι ἀναιρεθέντα τὰ ἀλλότρια. Ἀντὶ τῶ τὰς συλήσεις συλὰς ἔλεγον. Συλλήβδην, συλλαβῶν λόγου. Συλλήπτορα βοηθόν. Συλλογὴ, ὄνομα ἀρχῆς. Σύλλογος, ἄθροισις. Συμβαίνοντα, συμφωνοῦντα. Συμβαλεῖν, βοηθεῖν. διακρίνει. συγκρίνει. Συμβασις, φιλία. συντυχία. Καταλλαγὴ. σύμμιξις. Συμβατήριοι, εἰρηνικοὶ. φιλικοί. Συμβιβασοὶ, εἰς συμβίβασιν κὶ ὁμολογίαν ἐλθεῖν περί τινος. Συμβιβάζων, συλλαλῶν. διδάσκων. Συμβιβῶ, διδάξω. ἐπίσπω. νοήσω. ποιήσω. Σύμβολα. σημεῖα. μέτρα. οἷον σημεῖον τῷ ἀθέτου γενέσθαι τὸν ἀνοίγων πρὸ τῷ θανάτῳ οἱ δερματινοὶ χιτῶνες. Συμβολα, τὰς συνθήκας ἃς ἂν ἀλλήλοις εἰ πόλεις θέμενοι. τάττουσι τοῖς πολίταις ὥστε διδόναι κὶ λαμβάνειν τὰ δίκαια πολλάκις ἐν τῷ ζ Φιλιππικῶν Δημοσθένης. Συμβόλαια, τὰ συναλλάγματα. Οὕτως Μενάνδρου Συμβολοκόπων. Σύμβολον, δ' ἐλάμβανον οἱ δικασταὶ εἰς τὸ δικαστήριον ἰόντες.

http://digital.slub-dresden.de/ppn346246385/81